www.tezaurliturgic.ro

## 1 IANUARIE
## GHERASIM MIKRAGHIANANITUL

# PARACLISUL SF.IERARH VASILE CEL MARE, ARHIEPISCOPUL CEZAREEI CAPADOCIEI

TESALONIC, 1979


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

# ΕΙΣ ΤΟΝ ΜΕΓΑΝΟΥΡΑΝΟΦΑΝΤΟΡΑ

# ΑΓΙΟΝ ΒΑΣΙΛΕΙΟΝ

Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου

Ευλογήσαντος του Ιερέως, το Κύριε εισάκουσον…, μεθ' ό το ως συνήθως και τα εξής:

Ήχος δ'.Ο υψωθείς εν τω Σταυρώ…

Ως Ιεράρχης και σοφός θεηγόρος, και βασιλείας ουρανών κληρονόμος, ουρανοφάντορ Άγιε Βασίλειε, πρέσβευε προς Κύριον, πάσης ρύεσθαι βλάβης, και παθών και θλίψεων, τους πιστώς σε τιμώντας, και των πταισμάτων αίτει ιλασμόν, τοις καταφεύγουσι, Πάτερ τη σκέπη σου.

Δόξα… Το αυτό. Και νυν…Θεοτοκίον.

Ου σιωπήσομεν ποτέ Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι˙ ειμή γαρ συ προΐστασο πρεσβεύουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων; τις δε διεφύλαξεν, έως νυν ελευθέρους˙

Ούκ αποστώμεν Δέσποινα εκ σου˙ σους γαρ δούλους σώζεις αεί, εκ παντοίων κινδύνων.

Ο Ν’. και ο κανών ου η ακροστιχίς.

Ωδή α’. Ήχος πλ. δ’.Υγράν διοδεύσας…

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Γαλήνην εν βίω μοι σταθηράν, Βασίλειε αίτει, και κινδύνων απαλλαγήν, ως έχων μεγίστην παρρησίαν, προς τον Δεσπότην Χριστόν ιερώτατε.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Εν θλίψεσι Πάτερ αναψυχήν, και πόνοις ποικίλοις, ανακούφισον αληθή, παράσχου Βασίλειε παμμάκαρ, τοις προσιούσι θερμώς τη πρεσβεία σου.

Δόξα Πατρί…

Ναμάτων πληρούμενος θεϊκών, επόμβρησον Πάτερ, τον ουράνιον γλυκασμόν, τοις συνεχομένοις τη πικρία, αμαρτιών πολυτρόπων Βασίλειε.

Και νυν… Θεοτοκίον.

Ολόφωτον σκήνωμα του Θεού, Κεχαριτωμένη, Πανευλόγητε Μαριάμ, την αμαυρωθείσάν μου καρδίαν, τη ζοφερά αμαρτία καταύγασον.

Ωδή γ'. Ουρανίας αψίδος...

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Υπερέχοντος βίου, μυσταγωγέ άριστε, προς πνευματικάς επιδόσεις, ζωής της κρείττονος, ημάς οδήγει αεί, αδιστάκτω καρδία, Άγιε Βασίλειε, σε μακαρίζοντας.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Μετανοίας την τρίβον, την προς ζωήν φέρουσαν, οία των ψυχών οικονόμος, ημίν ομάλισον, εχθρού τα σκάνδαλα, εξ αυτής Πάτερ διώκων, δραστική πρεσβεία σου, προς τον Φιλάνθρωπον.

Δόξα Πατρί...

Ουρανόφρονα γνώμην, νουν καθαρόν σώφρονα, ήθος ταπεινόν Ιεράρχα, και βίον άμεμπτον, καλλιεργείν ευσεβώς, δίδου ημίν θείον σθένος, Άγιε Βασίλειε, ως συμπαθέστατος.

Και νυν… Θεοτοκίον.

Ιερόφθογγοι λόγοι, σε προφανώς έσεσθαι, άφθορον Μητέρα του Λόγου, Κόρη εδήλωσαν, όν καθικέτευε, της των παθών αλογίας, και φθοράς ρυσθήναί με, της του αλάστορος.

Διάσωσον, ουρανοφάντορ Βασίλειε Ιεράρχα, από πάσης επιφοράς και κακώσεως, τους καταφεύγοντας Πάτερ τη ση πρεσβεία.

Επίβλεψον εν ευμενεία…

Αίτησις και το κάθισμα.

Ήχος β'. Πρεσβεία θερμή…

Προστάτης θερμός, και οδηγός σωτήριος, προς τρίβον ζωής, και βασιλείαν ένθεον, γενού Πάτερ Βασίλειε, τοις θερμώς προσιούσι τη σκέπη σου ˙ συ γαρ μεσίτης ημών προς Θεόν, υπάρχεις και πρέσβυς δραστικώτατος.

Ωδή δ'. Εισακήκοα Κύριε...

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Βασιλεί με οικείωσαι, τω επουρανίω Πάτερ Βασίλειε, εκκαθαίρων των πταισμάτων με, ώσπερ Ιεράρχης ενθεώτατος.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Ιλαστήριον γένοιτο, και των ψυχικών συντριμμάτων ανόρθωσις, η πρεσβεία σου Βασίλειε, τοις ειλικρινώς σε μακαρίζουσι.

Δόξα Πατρί...

Οδυνώμενον σφόδρα με, ταις του πονηρού δειναίς επιθέσεσιν, απολύτρωσαι Βασίλειε, και ψυχής μου ίασαι την κάκωσιν.

Και νυν... Θεοτοκίον.

Υπερύμνητε Δέσποινα, τον εκ σου τεχθέντα Θεόν και Κύριον, καθικέτευε ρυσθήναί με, της επικρατείας του αλάστορος.

Ωδή ε’. Φώτισον ημάς…

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Ώσπερ θησαυρός, της σοφίας της του Πνεύματος, σοφισμάτων του Βελίαρ χαλεπών, απολύτρωσαι ημάς Πάτερ Βασίλειε.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Πόνων και παθών, και ποικίλων περιστάσεων, διαφύλαττε παμμάκαρ ασινείς, τους προστρέχοντας Βασίλειε τη σκέπη σου.

Δόξα Πατρί…

Άνωθεν ημίν, την ταχείαν σου βοήθειαν, ως προστάτης ημών μέγας και ταχύς, αεί δίδου δυσωπούμέν σε Βασίλειε.

Και νυν… Θεοτοκίον.

Τήρησον ημάς, ασινείς υπό την σκέπην σου, εκ βελών των πυριφλέκτων του εχθρού, δυσωπούμέν σε Παρθένε οι οικέται σου.

Ωδή στ’. Την δέησιν…

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Εκ πάσης οδυνηράς επηρείας, και μανίας του εχθρού και απάτης, και δυσχερείας του βίου και λύπης, ατρώτους φύλαττε Πάτερ Βασίλειε, τους καταφεύγοντας πιστώς, τη θερμή σου πρεσβεία προς Κύριον.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Ρημάτων, των θεϊκών σου η χάρις, ώσπερ θείος γλυκασμός κατευφραίνει, τας διανοίας ημών θεηγόρε˙ όθεν ιόν τον ψυχόλεθρον ξήρανον, τον καθ’ ημών του δυσμενούς, επομβρία των σων αντιλήψεων.

Δόξα Πατρί…

Βαράθρων, της απωλείας παμμάκαρ, και εκ λάκκου χαλεπής αμαρτίας, τους πεπτωκότας ανέλκυσον θάττον, τη επισκέψει σου Πάτερ Βασίλειε, και επί πέτραν ασφαλή, μετανοίας τον νουν ημών στήριξον.

Και νυν... Θεοτοκίον.

Αγγέλων, αγιωτέρα υπάρχεις, ασυγκρίτως Αειπάρθενε Κόρη, ως τον Δεσπότην αυτών τετοκυΐα, ανακαλούμενον κόσμον του πτώματος˙ διο καμού τον εναγή, καθαγίασον νουν τη ση χάριτι.

Διάσωσον, ουρανοφάντορ Βασίλειε Ιεράρχα, από πάσης επιφοράς και κακώσεως, τους καταφεύγοντας Πάτερ τη ση πρεσβεία.

Άχραντε, η δια λόγου...

Αίτησις και το Κοντάκιον.

Ήχος β'. Τοις των αιμάτων σου...

Ως Ιεράρχης Χριστού ενθεώτατος, και Εκκλησίας θεμέλιος άρρηκτος, Βασίλειε Πάτερ θεόσοφε, τους κλονουμένους ταις αύραις των θλίψεων, εδραίωσον θείαις πρεσβείαις σου.

Προκείμενον.

Το στόμα μου λαλήσει σοφίαν, και η μελέτη της καρδίας μου σύνεσιν...

Στίχ. Ακούσατε ταύτα πάντα τα έθνη...

Ευαγγέλιον κατά Ιωάννην...

Είπεν ο Κύριος. Εγώ ειμί η θύρα˙ δι' εμού εάν τις εισέλθη, σωθήσεται, και εισελεύσεται, και εξελεύσεται, και νομήν ευρήσει. Ο κλέπτης ουκ έρχεται, ειμή ίνα κλέψη, και θύση και απολέση˙ εγώ ήλθον ίνα ζωήν έχωσι, και περισσόν έχωσιν. Εγώ ειμί ο ποιμήν ο καλός˙ ο ποιμήν ο καλός την ψυχήν αυτού τίθησιν υπέρ των προβάτων. Ο μισθωτός δε, και ούκ ών ποιμήν, ου ούκ εισί τα πρόβατα ίδια, θεωρεί τον λύκον ερχόμενον, και αφίησι τα πρόβατα, και φεύγει, και ο λύκος αρπάζει αυτά, και σκορπίζει τα πρόβατα. Ο δε μισθωτός φεύγει ότι μισθωτός εστί, και ου μέλει αυτώ περί των προβάτων. Εγώ ειμί ο ποιμήν ο καλός˙ και γινώσκω τα εμά, και γινώσκομαι υπό των εμών˙ καθώς γινώσκει με ο Πατήρ, καγώ γινώσκω τον Πατέρα˙ και την ψυχήν μου τίθημι υπέρ των προβάτων. Και άλλα πρόβατα έχω, ά ούκ έστιν εκ της αυλής ταύτης˙ κακεινά με δει αγαγείν, και της

φωνής μου ακούσουσι˙ και γενήσεται μία ποίμνη, εις ποιμήν.

Δόξα... Ταις του Ιεράρχου...

Και νυν... Ταις της Θεοτόκου...

Προσόμοιον.

Ελεήμων, Ελέησόν με ο Θεός...

Ήχος πλ. β’.Όλην αποθέμενοι...

Βάσις και εδραίωμα, και αληθής παιδοτρίβης, οδηγός σωτήριος, και μεσίτης ένθεος προς τον Κύριον, γενού Βασίλειε, τοις εν κατανύξει, προσιούσι τη πρεσβεία σου, ως πλήρης χάριτος, και αρχιερεύς συμπαθέστατος, ημάς επί τα κρείττονα, Πάτερ οδηγών  τη ση χάριτι, ίνα βασιλείας, της άνω μετά τέλος κοινωνοί, και κληρονόμοι γενώμεθα, οι σε μακαρίζοντες.

Ο Ιερεύς.Σώσον ο Θεός τον λαόν σου...

Ωδή ζ’. Οι εκ της Ιουδαίας...

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Σοφιστείας του πλάνου, ος απαύστως τεκταίνει καθ’ ημών Άγιε, διάλυσον και δίδου, ημίν σοφίαν θείαν, θεηγόρε Βασίλειε, ως αν σοφώς του Θεού, το θέλημα ποιώμεν.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Ιεράρχα Κυρίου, Εκκλησίας απάσης φωστήρ πολύφωτε, φωτί των πρεσβειών σου, διάλυσον το σκότος, του νοός μου Βασίλειε, και ίθυνόν με προς φως, των θείων ενταλμάτων.

Δόξα Πατρί...

Σκευωρίας απάσης, και κακίας και φθόνου ημάς απάλλαξον, εκ των επιζητούντων, σκανδάλοις εκταράττειν, την ζωήν ημών Άγιε, και εν ειρήνη ημάς, περίφραξον τελεία.

Και νυν... Θεοτοκίον.

Γαλουχούσα ως βρέφος, Θεοτόκε Παρθένε τον πάντα τρέφοντα, διέθρεψον τον νουν μου, εν άρτω

νοημάτων, σωτηρίων λιμώττοντα, τη επηρεία εχθρού, πενία των κρειττόνων.

Ωδή η’. Τον Βασιλέα…

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Εκ της σης γλώσσης, βλύζειν ζωής θείον ύδωρ, δι’ ου πότισον διψώσαν την ψυχήν μου, ίνα Ιεράρχα, τα θεία εξενέγκη.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Ρώσιν παράσχου, κατά ψυχήν τε και σώμα, τη πρεσβεία σου Βασίλειε παμμάκαρ, τοις σε ως προστάτιν, ανευφημούσι μέγαν.

Δόξα Πατρί…Αμαρτημάτων, ημίν την άφεσιν αίτει, ως χρηστότητος της θείας υποφήτης, και παθών την λύσιν, Βασίλειε τρισμάκαρ.

Και νυν… Θεοτοκίον.

Συ εί Παρθένε, αμαρτωλών προστασία˙ διο ρύσαί με εχθρού της δυναστείας, και τω θείω φόβω, τείχισον την ψυχήν μου.

Ωδή θ’. Κυρίως Θεοτόκον…

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Ιάτρευσον τον νουν μου, τετραυματισμένον, τη επηρεία του όφεως Όσιε, και φωτισμώ ουρανίω τούτον καταύγασον.

Άγιε του Θεού πρέσβευε υπέρ ημών.

Μη παύση ικετεύων, προς τον πάντων Κτίστην, ουρανοφάντορ Βασίλειε Όσιε ρύεσθαι πάσης ανάγκης τους σε γεραίροντας.

Δόξα Πατρί…

Ο μέγας Εκκλησίας, μύστης και προστάτης, Αρχιεράρχα Βασίλειε πάνσοφε, προσδοκωμένων κινδύνων ημάς απάλλαξον.

Και νυν… Θεοτοκίον.

Υφέρπων μοι δολίως, συλά με καθ’ εκάστην, ο δολιότροπος όφις Πανάμωμε, αλλά της τούτου κακίας συ με απάλλαξον.

Το Άξιον εστί…Και τα μεγαλυνάρια.

Χαίροις Εκκλησίας μέγας φωστήρ, και της ευσεβείας, μυστογράφος θεοειδής˙ χαίροις βασιλείας, της άνω υποφήτης, Βασίλειε παμμάκαρ, πιστών εδραίωμα.

Άπασαν παιδείαν εκπαιδευθείς, την θύραθεν Πάτερ, της σοφίας του Θεού, όργανον εδείχθης, Βασίλειε εν κόσμω, ως αρετών δοχείον, περιφανέστατον.

Βάσις Εκκλησίας ώφθης στερρά, δογμάτων αγίων, στόμα εύσημον και σοφόν, και του Παρακλήτου Βασίλειε ρομφαία, αιρετικών συγκόπτουσα, τα ζιζάνια.

Χαίροις των πενήτων ο βοηθός, χηρών ο προστάτης, και απόρων ο αρωγός˙ χαίροις τεθλιμμένων, παράκλησις γλυκεία, και γήρως βακτηρία, Πάτερ Βασίλειε.

Έπιδε Βασίλειε, ιερέ, επί τους ζητούντας, την θερμήν σου επισκοπήν, και παράσχου πάσιν, υγείαν την κατ' άμφω, και άφεσιν πταισμάτων, και βίον άλυπον.

Συν τοις σοις γονεύσι και αδελφοίς, Χριστόν εκδυσώπει, ώ Βασίλειε ιερέ, όπως αξιώση, της άνω βασιλείας, τους προσιόντας Πάτερ, τη αντιλήψει σου.

Πάσαι των Αγγέλων…

Το τρισάγιον, τα συνήθη τροπάρια, εκτενής και απόλυσις, μεθ' ήν ψάλλομεν το εξής.

Απολυτίκιον. Ήχος α'.

Εις πάσαν την γην εξήλθεν ο φθόγγος σου, ως δεξαμένην τον λόγον σου˙ δι' ου θεοπρεπώς εδογμάτισας την φύσιν των όντων ετράνωσας, τα των ανθρώπων ήθη κατεκόσμησας. Βασίλειον ιεράτευμα, Πάτερ Όσιε˙ πρέσβευε Χριστώ τω Θεώ, σωθήναι τας ψυχάς ημών.

Ήχος β'. Ότε εκ του ξύλου…

Μέγας Εκκλησίας αρωγός, ως πανευκλεής Ιεράρχης, πέλων Βασίλειε, μέγας πρέσβυς πέφηνας, ημών προς Κύριον˙ δια τούτο βοώμεν σοι˙ Απαύστως δυσώπει, νόσων και κακώσεων, και θλιβερών συμφορών,

ρύεσθι τους σε ανυμνούντας, και της βασιλείας γενέσθαι, του Χριστού μετόχους ημάς Άγιε.

Δέσποινα πρόσδεξαι... Την πάσαν ελπίδα μου...

